# ΕΚ ΤΗΣ ΚΟΣΜΑ ΜΟΝΑΧΟΥ, ΧΡΙΣΤΙΑΝΙΚΗΣ ΤΟΠΟΓΡΑΦΙΑΣ,

## ΠΕΡΙ ΖΩΩΝ ΙΝΔΙΚΩΝ, ΚΑΙ ΠΕΡΙ ΔΕΝΔΡΩΝ Ἰνδικῶν, καὶ περὶ τῆς Ταπροβάνης νήσου.

### ΡΙΝΟΚΕΡΟΣ.

ΤΟΥΤΟ τὸ ζῷον, καλεῖται Ῥινόκερως. Διὰ τὸ ἐν τοῖς μυκτῆρσι τὰ κέρατα ἔχειν· ὅτε δὲ περιπατεῖ, σαλεύονται τὰ κέρατα. ὅτε δὲ ὁρᾷ μετὰ θυμοῦ, ἀποτείνει αὐτὰ καὶ ἀσάλευτα εὑρίσκονται· ὥστε καὶ δένδρα δύνασθαι ἐκριζοῦν τὰ ἐν αὐτοῖς μάλιστα τὸ ἔμπροσθεν. τοὺς δὲ ὀφθαλμοὺς κάτω περὶ τὰς γνάθους ἔχει. φοβερώτατον δέ ἐστι πάνυ. μάλιστα καὶ τῷ ἐλέφαντι πως ἀντικείμενον· οἱ πόδες δὲ καὶ τὸ δέρμα παραπλήσιά εἰσι τῷ ἐλέφαντι· ἔχει δὲ τὸ πάχος τοῦ δέρματος αὐτοῦ ξηραινόμενον, δακτύλους τέσσαρας. καὶ ἀντὶ δὲ αὐτοῦ ἔνιοι βάλλουσιν ἀντὶ σιδήρου εἰς τὰ ἄροτρα καὶ ἀροτριῶσι τὴν γῆν. καλοῦσι δὲ αὐτὸ οἱ Αἰθίοπες τῇ ἰδίᾳ διαλέκτῳ ἄρου ἢ ἀρισι. δασύνοντες τὸ δεύτερον ἄλφα καὶ οὕτω προστιθέντες τὸ ρισί. ἵνα διὰ τοῦ μὲν ἄρου ἢ τὸ θηρίον. διὰ δὲ τοῦ ἀρισι, ἀροτριᾶν ἐκ τοῦ σχήματος τοῦ περὶ τοὺς ῥώθωνας ἅμα δὲ καὶ τοῦ δέρματος, τὴν ἐπωνυμίαν αὐτῷ τεθεικότες. τεθέαμαι δὲ καὶ ζῶντα ἐν τῇ Αἰθιοπίᾳ, ἀπὸ μακρόθεν ἱστάμενος καὶ νεκρὸν ἐκδαρὲν καὶ καταγεμισθὲν ἄχυρα, ἱστάμενον ἐν οἴκῳ βασιλικῷ, ὅθεν ἀκριβῶς κατέγραψα.

### ΤΑΥΡΕΛΑΦΟΣ.

Τοῦτο τὸ ζῷον ὁ Ταυρέλαφος, καὶ ἐν τῇ Ἰνδίᾳ καὶ ἐν τῇ Αἰθιοπίᾳ εὑρίσκεται. ἀλλὰ τὰ μὲν τῆς Ἰνδίας ἥμερά εἰσι. καὶ ἐν αὐτοῖς ποιοῦσιν ἐν δισακκίοις, βαστάζειν πιπέρεως καὶ ἑτέρων φορτίων. καὶ γάλα ἀμέλγουσι δὲ αὐτῶν καὶ βούτυρον. ἅμα δὲ καὶ τὸ κρέας ἐσθίομεν. οἱ μὲν Χριστιανοί, σφάζοντες, οἱ δὲ Ἕλληνες, κοπαφίζοντες. τὰ δὲ τῆς Αἰθιοπίας ἄγριά ἐστι καὶ ἀνήμερα.

### ΚΑΜΗΛΟΠΑΡΔΑΛΙΣ.

Η δὲ καμηλοπάρδαλις, ἐν τῇ Αἰθιοπίᾳ μόνῃ εὑρίσκεται. καὶ αὗται πάλιν ἀνήμεραι καὶ ἄγριαί εἰσι. ἐν δὲ τῷ παλατίῳ εἰς λόγον τοῦ βασιλέως ἡμεροῦσιν ἀπὸ μικρόθεν, μίαν ἢ δύο πρὸς θέαν αὐτοῦ. ὅτε δὲ παραβάλλουσιν αὐτῇ πιεῖν ἔμπροσθεν τοῦ βασιλέως εἰς λεκάνην ἢ γάλα ἢ ὕδωρ. εἰ μὴ ἁπλώσῃ τοὺς ἔμπροσθεν δύο πόδας, οὐ δύναται φθάσαι καὶ πιεῖν εἰς τὴν γῆν. διὰ τὸ τοὺς πόδας καὶ τὸ στῆθος καὶ τὸν τράχηλον ὑψηλὰ ὑπάρχειν. ἀναλόγως οὖν διαχάζουσα τοὺς ἔμπροσθεν πόδας, τότε δύναται πιεῖν. καὶ ταῦτα ὡς εἰδότες διεγράψαμεν.

### ΑΓΡΙΟΒΟΥΣ

Ἀγριόβους ἐστὶ μέγας, τῆς Ἰνδικῆς τοῦτο τὸ ζῷον. ἐκ δὲ οὗ ἐστιν ἡ λεγομένη τοῦφα. ἣ κοσμοῦσι τοὺς ἵππους καὶ τὰ βάνδα οἱ ἄρχοντες εἰς τοὺς κάμπους· φασὶ δὲ περὶ αὐτοῦ. ὅτε ἐὰν αὐτῷ πλακῶνται δένδρου τῆς οὐρᾶς, οὐκ ἔτι κινεῖται. ἀλλ' ἵσταται ἀπεῦδον ἔχων ἐᾶσαι μίαν τρίχα ἐξ αὐτῆς. λοιπὸν ἔρχονται οἱ ἐγχώριοι καὶ κόπτουσι τὴν οὐρὰν. καὶ τότε φεύγει, τὸ πλὴν τῆς οὐρᾶς ἀπολέσας· αὕτη ἡ φύσις τοῦ ζῴου.

2

# RELATIONS
## DE DIVERS
# VOYAGES
## CURIEUX,

### QUI N'ONT POINT ESTÉ PUBLIÉES,

Et qu'on a traduit ou tiré des Originaux des Voyageurs François, Espagnols, Allemands, Portugais, Anglois, Hollandois, Persans, Arabes & autres Orientaux, données au public par les soins de feu

### M. MELCHISEDEC THEVENOT.

**LE TOUT ENRICHI DE FIGURES, DE PLANTES** non décrites, d'Animaux inconnus à l'Europe, & de Cartes Geographiques, qui n'ont point encore été publiées.

*NOUVELLE EDITION,*

Augmentée de plusieurs Relations curieuses.

**TOME PREMIER.**

*CONTENANT LA I. ET II. PARTIE.*

A PARIS,
Chez THOMAS MOETTE Libraire, ruë de la Bouclerie, à saint Alexis.

M. DC. XCVI.

*AVEC PRIVILEGE DE SA MAJESTE'.*